UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

**Origenes**

**Coloniæ, 1685**

E Quinto Tomo In Johannis Evangelium. In Præfatione. Eodem Interprete.

urn:nbn:de:hbz:466:1-79869

Visual Library

## ΕΚ ΤΟΥ

πέμπτου τόμου τῶν εἰς * τὸ κατὰ ἰωάννην·

*κτ. ιω.

Εἰς τὸ προοίμιον·

## E QUINTO TOMO

**In Johannis Evangelium.**

*In Præfatione.*

*Eodem Interprete.*

Ἐπεὶ μὴ ἀρκούμενος τὸ παρὸν ἀνειληφέναι πρὸς ἡμᾶς ἔργον τῶν τοῦ θεοῦ ἐργοδιωκτῶν, καὶ ἀπόντας τὰ πολλά σοι σχολάζειν καὶ τῷ πρὸς σὲ καθήκοντι ἀξιοῖς, ἐγὼ ἐκκλίνων τὸν κάματον, καὶ περιϊστάμενος τὸν παρὰ θεοῦ τῶν ἐπὶ τὸ γράφειν εἰς τὰ θεῖα ἑαυτοὺς ἐπιδεδωκότων κίνδυνον, συναγορεύσαιμι ἂν ἐμαυτῷ ἀπὸ τῆς γραφῆς παραιτούμενος τὰ πολλὰ ποιεῖν βιβλία· φησὶ γὰρ ἐν τῷ ἐκκλησιαστῇ Σολομῶν· υἱέ μου φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά· οὐκ ἔστι περασμὸς, καὶ μελέτη πολλὴ κόπωσις σαρκός· ἡμεῖς γὰρ εἰ μὴ ἔχει νοῦν τινα κεκρυμμένον καὶ ἐπὶ ἡμῖν ἀσαφῆ ἡ λέξις ἡ προκειμένη ἄντικρυς, παραβεβήκαμεν τὴν ἐντολὴν, μὴ φυλαξάμενοι ποιῆσαι βιβλία πολλά.

A QUoniam non contentus id absentis mei causa tibi operis sumsisse, ut mihi secundum Deum monitor esses & laboris exactor, postulas etiam ut pro meo in te officio, multa elaborem; ego laborem fugiens, & eo periculo circumsessus quod à Deo impendet iis, qui ad scribendum in divinas literas sese contulerunt, Scripturæ patrocinio tueri me possim multos libros scribere recusans. Sic enim in Ecclesiaste Salomon: *Fili mi, cave ut multos libros conscribas: non est finis, & multa meditatio carnis defatigatio est.* Eccl. 12. 12 B Nos enim, nisi sensum abstrusum, & nobis adhuc obscurum proposita illa Salomonis habet sententia, præceptum id penitus perfregimus, qui non cavimus, ne multos libros conficeremus.

Εἶτα εἰπὼν ὡς εἰς ὀλίγα τοῦ εὐαγγελίου ῥητὰ τέσσαρες αὐτῷ διωνύθησαν τόμοι, ἐπιφέρει.

*Deinde postquam dixit [Origenes] se volumina quatuor in pauca Evangelii verba absolvisse, adjungit.*

Ὅσον γὰρ ἐπὶ τῇ λέξει δύο σημαίνεται ἐκ τοῦ· υἱέ μου φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλὰ, ἓν μὲν ὅτι οὐ δεῖ κεκτῆσθαι βιβλία πολλὰ, ἕτερον δὲ ὅτι οὐ δεῖ συντάξαι βιβλία πολλὰ, καὶ εἰ μὴ τὸ πρῶτον, πάντως τὸ δεύτερον. εἰ δὲ τὸ δεύτερον, οὐ πάντως τὸ πρῶτον. πλὴν ἑκατέρωθεν * δοξόμεθα μανθάνειν μὴ δεῖν ποιεῖν βιβλία πλείονα· ἠδυνάμην δὲ πρὸς τὸ νῦν ἡμῖν ὑποπεπτωκὸς ἱστάμενος, ἐπιστεῖλαί σοι ὡς ἀπολογίαν τὸ ῥητόν· καὶ κατασκευάσας τὸ πρᾶγμα, ἐκ τοῦ μηδὲ τοὺς ἁγίους πολλῶν βιβλίων συντάξεσιν ἐσχολακέναι, παύσασθαι πρὸς τὸ ἑξῆς τοῦ κατὰ τὰς συνθήκας ἃς ἐποιησάμεθα πρὸς ἀλλήλους ὑπαγορεύειν τὰ διαπεμφθησόμενά σοι· καὶ τάχα σὺ πληγεὶς ὑπὸ τῆς λέξεως πρὸς τὸ ἑξῆς ἂν ἡμῖν συνεχώρησας. ἀλλ᾽ ἐπεὶ * τῶν γραφῶν εὐσυνειδότως δεῖ ἐξετάζειν, μὴ προπετῶς ἑαυτῷ καταχαριζόμενον τὸ νενοηκέναι, ἐκ τοῦ ψιλὴν τὴν λέξιν ἐξειληφέναι, οὐχ ὑπομένω, μὴ τὴν φαινομένην μοι ὑπὲρ ἐμαυτοῦ ἀπολογίαν, ἣ χρή-

*γρ. δείξομεν

*γρ. τὰς γραφὰς

C Quantum enim ex ipsa dictione conjicere licet, duo significantur his verbis: *Fili mi, cave multos libros conficias:* primum quidem, non esse habendos multos libros; Alterum, non esse multos componendos: & nisi primum, plane secundum; si vero secundum, non primum omnino, præterquam quod utrinque doceri videmur, non esse complures libros conficiendos. Poteram autem ad id quod nobis sub aciem sermonis venit, adhærescens, ad te Scripturæ dictum excusationis loco mittere, & confirmata re ex D eo quod neque Sancti multorum librorum compositioni studuerint, desinere deinceps subjungere commentarios juxta fœdus inter nos initum ad te transmittendos; & tu fortasse illo dicto Scripturæ commotus id mihi inposterum concessisses: sed quoniam Scripturæ cum recta mente & conscientia excutiendæ sunt, nec temere gaudendum, quasi eas intelligas ex eo quod nudam dictionem perceperis, rem non prolato, nec, quæ mihi videtur suffragari, defensionem afferro,

fero, qua uti contra me possis, si præter A pactum aliquid fecero. Ac primum quidem, quando dictis illis historia consentire videtur, cum nemo Sanctorum plures commentarios ediderit, nec multis libris sensa sua exposuerit, de hoc disputandum est. Qui vero reprehendet, quod ad plura scribenda me accingam, Mosen talem ac tantum virum, quinque solos libros reliquisse dicet.

σαιμι ἂν κατ' ἐμοῦ, εἰ παρὰ τὰς συνθήκας ποιήσαιμι παραπιθείς. καὶ πρῶτόν γε ἐπεὶ δοκεῖ τῇ λέξει συνηγορεύειν ἡ ἱστορία, οὐδενὸς τῶν ἁγίων ἐκδεδωκότος συντάξεις πλείονας, καὶ ἐν πολλαῖς βίβλοις τὰ νῦν αὐτοῦ ἐκτιθεμένου, περὶ τούτου λεκτέον. ὁ δὲ ἐγκαλῶν μοι εἰς σύνταξιν πλειόνων ἐρχομένῳ τὸν τηλικοῦτον Μωσέα φήσει πέντε μόνας βίβλους καταλελοιπέναι.

# EX EODEM TOMO QUINTO
# COMMENTARIORUM
## IN JOHANNEM.

### *Interprete* HENRICO VALESIO.

IS vero quem Deus idoneum reddidit, B qui Novi Testamenti minister esset, non litera, & verbis tenus; sed Spiritus ipsius; Paulus scilicet, qui ab Hierosolymis & finitimis locis usque ad Illyricum Evangelium adimplevit, non omnibus Ecclesiis, quas docuerat, scripsit, sed & iis quibus scripsit, paucas admodum lineas exaravit. Petrus autem cui tanquam fundamento superstructa est Ecclesia Christi, adversus quam nec ipsæ inferorum portæ prævalituræ sunt, unam duntaxat omnium consensu receptam C reliquit Epistolam. Concedamus vero & secundam ejus esse: de hac enim ambigitur. Jam vero quid dicendum & de eo, qui in sinu Christi recubuit, Joanne? Qui quidem unum reliquit Evangelium, tametsi fateatur tot se libros scribere potuisse, quot nec orbis ipse terrarum posset continere. Scripsit præterea Revelationem; jussus silere, nec septem tonitruum voces perscribere. Scripsit D etiam Epistolam admodum brevem. Sed concedamus si placet, & secundam, & tertiam ab illo scriptas esse; neque enim has genuinas illius esse omnes consentiunt. Ambæ tamen vix centum versus continent.

Ὁ δὲ ἱκανωθεὶς διάκονος γενέσθαι τῆς καινῆς διαθήκης, οὐ γράμματος, πνεύματος. ὁ πεπληρωκὼς τὸ εὐαγγέλιον ἀπὸ Ἱερουσαλὴμ, καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, οὐδὲ πάσαις ἔγραψεν αἷς ἐδίδαξεν ἐκκλησίαις. ἀλλὰ καὶ αἷς ἔγραψεν, ὀλίγους στίχους ἐπέστειλε. Πέτρος δὲ ἐφ' ᾧ οἰκοδομεῖται ἡ Χριστοῦ ἐκκλησία, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι, μίαν ἐπιστολὴν ὁμολογουμένην καταλέλοιπεν. ἔστω δὲ καὶ δευτέραν. ἀμφιβάλλεται γάρ. τί δεῖ περὶ τοῦ ἀναπεσόντος λέγειν ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ Ἰωάννου; ὃς εὐαγγέλιον ἓν καταλέλοιπεν, ὁμολογῶν δύνασθαι τοσαῦτα ποιήσειν, ἃ οὐδὲ ὁ κόσμος χωρῆσαι ἐδύνατο. ἔγραψε δὲ καὶ τὴν ἀποκάλυψιν, κελευσθεὶς σιωπῆσαι, καὶ μὴ γράψαι τὰς τῶν ἑπτὰ βροντῶν φωνάς. καταλέλοιπε δὲ καὶ ἐπιστολὴν πάνυ ὀλίγων στίχων. ἔστω δὲ καὶ δευτέραν, καὶ τρίτην, ἐπεὶ οὐ πάντες φασὶ γνησίους εἶναι ταύτας. πλὴν οὐκ εἰσὶ στίχων ἀμφότεραι ἑκατόν.

*Deinde Prophetis & Apostolis enumeratis, quorum singuli pauca, sed neque pauca conscripserunt, addit postea* [*Origenes*.]

Εἶτα ἀπαριθμησάμενος προφήτας καὶ ἀποστόλους, ὀλίγα ἑκάστου, ἢ οὐδὲ ὀλίγα γράψαντος, ἐπάγει μετὰ ταῦτα.

### *Interprete* JOHANNE TARINO.

Hæreo deinde, ac caligantibus oculis vertigine æstuo, ne tibi obtemperans non obedierim Deo, neque Sanctos sim imitatus, nisi jam propter vehementiam

Ἰλιγγιᾶν μοι ἐπέρχεται σκοτοδινιῶντι, μὴ ἄρα πειθαρχῶν σοὶ οὐκ ἐπειθάρχησα θεῷ, οὐδὲ τοὺς ἁγίους ἐμιμησάμην· εἰ μὴ σφάλλομαι τί-
νω